κ(αὶ) ὅπου ἔθηκαν
αὐτόν· καὶ ταῦτα εἰ-
ποῦσα. ἐστράφη εἰς
τὰ ὀπίσω· καὶ θε-
ωρεῖ τὸν ἰ(ησοῦ)ν ἑστῶτα.
καὶ οὐκ ᾔδει ὅτι ἰ(ησοῦ)ς
ἐστι· λέγει αὐτῇ ὁ ἰ(ησοῦ)ς·
γύναι· τί κλαίεις· τί-
να ζητεῖς· ἐκεί-
νη δοκοῦσα ὅτι ὁ κη-
πουρός ἐστι. λέγει αὐ-
τῷ· κ(ύρι)ε· εἰ σὺ ἐβάστα-
σας αὐτόν. εἰπέ μοι.
ποῦ ἔθηκας αὐτόν.
κἀγὼ αὐτὸν ἀρῶ· λέ-
γει αὐτῇ ὁ ἰ(ησοῦ)ς· μαρία·
στραφεῖσα ἐκείνη· λέ-
γει αὐτῷ· ῥαββουνί· ὅ·
λέγεται διδάσκαλε·
λέγει αὐτῇ ὁ ἰ(ησοῦ)ς· μή
μου ἅπτου· οὔπω
γὰρ ἀναβέβηκα πρὸ(ς)
τὸν π(ατέ)ρα μου· πορεύ-
ου δὲ πρὸς τοὺς ἀδελ-
φούς μου. καὶ εἰπὲ
αὐτοῖς· ἀναβαίνω
πρὸς τὸν π(ατέ)ρα μου.
καὶ π(ατέ)ρα ὑμῶν. καὶ
θ(εό)ν μου καὶ θ(εὸ)ν ὑμῶν·
ἔρχεται μαρία ἡ μαγδα-
ληνή. ἀπαγγέλλουσα
τοῖς μαθηταῖς. ὅτι
ἑώρακε τὸν κ(ύριο)ν. καὶ
ταῦτα εἶπεν αὐτῇ·

Εὐαγγ(έλιον) θ΄· [illegible]
ἐκ τοῦ κατὰ ἰω(άννην):

Τῷ καιρῷ ἐκείνῳ· ἐ-
φανέρωσεν ἑαυτὸν
ὁ ἰ(ησοῦ)ς τοῖς μαθηταῖς
αὐτοῦ. ἐγερθεὶς ἐκ νε-
κρῶν. ἐπὶ τῆς θα-
λάσσης τῆς τιβε-

ριάδος + ἐφανέρωσε
δὲ οὕτως + ἦσαν ὁμοῦ
σίμων πέτρος· καὶ
θωμᾶς ὁ λεγόμενος δί-
δυμος· καὶ ναθαναὴλ
ὁ ἀπὸ κανὰ τῆς
γαλιλαίας· καὶ οἱ τοῦ
ζεβεδαίου· καὶ ἄλλοι
ἐκ τῶν μαθητῶν αὐ-
τοῦ δύο + λέγει αὐτοῖς
σίμων πέτρος + ὑπά-
γω ἁλιεύειν + λέγουσιν
αὐτῷ + ἐρχόμεθα καὶ
ἡμεῖς σὺν σοί + ἐξῆλ-
θον· καὶ ἐνέβησαν
εἰς τὸ πλοῖον εὐθύ +
καὶ ἐν ἐκείνῃ τῇ νυ-
κτὶ ἐπίασαν οὐδέν +
πρωΐας δὲ ἤδη γενομέ-
νης· ἔστη ὁ ἰς εἰς τὸν

αἰγιαλόν + οὐ μέντοι
ᾔδεισαν οἱ μαθηταὶ
ὅτι ἰς ἐστι + λέγει αὐτοῖς
ὁ ἰς + παιδία· μή τι
προσφάγιον ἔχετε;
ἀπεκρίθησαν αὐτῷ
οὔ· ὁ δὲ εἶπεν αὐτοῖς +
βάλετε εἰς τὰ δεξιὰ
μέρη τοῦ πλοίου
τὸ δίκτυον καὶ εὑρή-
σετε + ἔβαλον οὖν· καὶ
οὐκέτι αὐτὸ ἑλκύσαι
ἴσχυσαν· ἀπὸ τοῦ πλή-
θους τῶν ἰχθύων +
λέγει οὖν ὁ μαθητὴς
ἐκεῖνος· ὃν ἠγάπα
ὁ ἰς τῷ πέτρῳ + ὁ κς
ἐστιν + σίμων οὖν πέτρος
ἀκούσας· ὅτι ὁ κς ἐστι
τὸν ἐπενδύτην διεζώ-
σατο· ἦν γὰρ

3
MS. Codex 141